# ΙΟΥΔΑ

1 Ἰούδας Ἰησοῦ Χριστοῦ δοῦλος, ἀδελφὸς δὲ Ἰακώβου,
τοῖς ἐν θεῷ πατρὶ ⸀ἠγαπημένοις*καὶ Ἰησοῦ Χριστῷ
τετηρημένοις κλητοῖς· 2 ἔλεος ὑμῖν καὶ εἰρήνη καὶ ἀγάπη
πληθυνθείη. 3 Ἀγαπητοί, πᾶσαν σπουδὴν ποιούμενος
γράφειν ὑμῖν περὶ τῆς κοινῆς ⸀ἡμῶν†σωτηρίας ἀνάγκην
ἔσχον γράψαι ὑμῖν παρακαλῶν ἐπαγωνίζεσθαι τῇ ἅπαξ
παραδοθείσῃ τοῖς ἁγίοις πίστει. 4 παρεισέδυσαν γάρ
τινες ἄνθρωποι, οἱ πάλαι προγεγραμμένοι εἰς τοῦτο τὸ
κρίμα, ἀσεβεῖς, τὴν τοῦ θεοῦ ἡμῶν χάριτα μετατιθέντες
εἰς ἀσέλγειαν καὶ τὸν μόνον ⸀δεσπότην‡καὶ κύριον ἡμῶν
Ἰησοῦν Χριστὸν ἀρνούμενοι. 5 Ὑπομνῆσαι δὲ ὑμᾶς
βούλομαι, εἰδότας ⸂ὑμᾶς ἅπαξ§ ⸀πάντα* ὅτι ⸀Ἰησοῦς†λαὸν
ἐκ γῆς Αἰγύπτου σώσας τὸ δεύτερον τοὺς μὴ πιστεύσαντας
ἀπώλεσεν, 6 ἀγγέλους τε τοὺς μὴ τηρήσαντας τὴν
ἑαυτῶν ἀρχὴν ἀλλὰ ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον
εἰς κρίσιν μεγάλης ἡμέρας δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον
τετήρηκεν· 7 ὡς Σόδομα καὶ Γόμορρα καὶ αἱ περὶ αὐτὰς
πόλεις, τὸν ὅμοιον ⸂τρόπον τούτοις‡ ἐκπορνεύσασαι καὶ
ἀπελθοῦσαι ὀπίσω σαρκὸς ἑτέρας, πρόκεινται δεῖγμα
πυρὸς αἰωνίου δίκην ὑπέχουσαι. 8 Ὁμοίως μέντοι καὶ
οὗτοι ἐνυπνιαζόμενοι σάρκα μὲν μιαίνουσιν, κυριότητα
δὲ ἀθετοῦσιν, δόξας δὲ βλασφημοῦσιν. 9 ὁ δὲ Μιχαὴλ ὁ
ἀρχάγγελος, ὅτε τῷ διαβόλῳ διακρινόμενος διελέγετο

* **1:1** ἠγαπημένοις WH Treg NA28 ] ἡγίασμένοις RP † **1:3** ἡμῶν WH Treg NA28 ] – RP ‡ **1:4** δεσπότην WH Treg NA28 ] + θεόν RP § **1:5** ὑμᾶς ἅπαξ NA28 RP ] ἅπαξ ὑμᾶς NIV; ἅπαξ WH Treg; ὑμᾶς NA27 * **1:5** πάντα WH Treg NA28 ] τοῦτο RP † **1:5** Ἰησοῦς NA28 ] κύριος WH Treg; ὁ κύριος NIV RP; ὁ κύριος ἅπαξ NA27 ‡ **1:7** τρόπον τούτοις WH Treg NA28 ] τούτοις τρόπον RP

περὶ τοῦ Μωϋσέως σώματος, οὐκ ἐτόλμησεν κρίσιν
ἐπενεγκεῖν βλασφημίας, ἀλλὰ εἶπεν· Ἐπιτιμήσαι σοι
κύριος. 10 οὗτοι δὲ ὅσα μὲν οὐκ οἴδασιν βλασφημοῦσιν,
ὅσα δὲ φυσικῶς ὡς τὰ ἄλογα ζῷα ἐπίστανται, ἐν
τούτοις φθείρονται. 11 οὐαὶ αὐτοῖς, ὅτι τῇ ὁδῷ τοῦ
Κάϊν ἐπορεύθησαν, καὶ τῇ πλάνῃ τοῦ Βαλαὰμ μισθοῦ
ἐξεχύθησαν, καὶ τῇ ἀντιλογίᾳ τοῦ Κόρε ἀπώλοντο.
12 οὗτοί εἰσιν ⸀οἱ§ἐν ταῖς ἀγάπαις ὑμῶν σπιλάδες
συνευωχούμενοι, ἀφόβως ἑαυτοὺς ποιμαίνοντες,
νεφέλαι ἄνυδροι ὑπὸ ἀνέμων παραφερόμεναι, δένδρα
φθινοπωρινὰ ἄκαρπα δὶς ἀποθανόντα ἐκριζωθέντα,
13 κύματα ἄγρια θαλάσσης ἐπαφρίζοντα τὰς ἑαυτῶν
αἰσχύνας, ἀστέρες πλανῆται οἷς ὁ ζόφος τοῦ σκότους
εἰς αἰῶνα τετήρηται. 14 Προεφήτευσεν δὲ καὶ τούτοις
ἕβδομος ἀπὸ Ἀδὰμ Ἑνὼχ λέγων· Ἰδοὺ ἦλθεν κύριος ἐν
ἁγίαις μυριάσιν αὐτοῦ, 15 ποιῆσαι κρίσιν κατὰ πάντων
καὶ ἐλέγξαι ⸀πάντας τοὺς ἀσεβεῖς* περὶ πάντων τῶν
ἔργων ἀσεβείας αὐτῶν ὧν ἠσέβησαν καὶ περὶ πάντων
τῶν σκληρῶν ὧν ἐλάλησαν κατʼ αὐτοῦ ἁμαρτωλοὶ
ἀσεβεῖς. 16 οὗτοί εἰσιν γογγυσταί, μεμψίμοιροι,
κατὰ τὰς ἐπιθυμίας ⸀αὐτῶν†πορευόμενοι, καὶ τὸ
στόμα αὐτῶν λαλεῖ ὑπέρογκα, θαυμάζοντες πρόσωπα
ὠφελείας χάριν. 17 Ὑμεῖς δέ, ἀγαπητοί, μνήσθητε τῶν
ῥημάτων τῶν προειρημένων ὑπὸ τῶν ἀποστόλων τοῦ
κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· 18 ὅτι ἔλεγον ⸀ὑμῖν‡ ⸂Ἐπʼ
ἐσχάτου χρόνου§ ἔσονται ἐμπαῖκται κατὰ τὰς ἑαυτῶν
ἐπιθυμίας πορευόμενοι τῶν ἀσεβειῶν. 19 οὗτοί εἰσιν οἱ

§ **1:12** οἱ WH Treg NA28 ] – RP * **1:15** πάντας τοὺς ἀσεβεῖς WH Treg NIV ] + αὐτῶν RP; πᾶσαν ψυχὴν NA28 † **1:16** αὐτῶν WH Treg RP ] ἑαυτῶν NA28 ‡ **1:18** ὑμῖν WH NA28 ] + ὅτι Treg NA27 RP § **1:18** Ἐπʼ ἐσχάτου χρόνου WH Treg NA28 ] Ἐπʼ ἐσχάτου τοῦ χρόνου NA27; ἐν ἐσχάτῳ χρόνῳ RP

ἀποδιορίζοντες, ψυχικοί, πνεῦμα μὴ ἔχοντες. 20 ὑμεῖς δέ,
ἀγαπητοί, ʹἐποικοδομοῦντες ἑαυτοὺς τῇ ἁγιωτάτῃ ὑμῶν
πίστει*, ἐν πνεύματι ἁγίῳ προσευχόμενοι, 21 ἑαυτοὺς ἐν
ἀγάπῃ θεοῦ τηρήσατε προσδεχόμενοι τὸ ἔλεος τοῦ κυρίου
ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς ζωὴν αἰώνιον. 22 καὶ οὓς μὲν
ʳἐλεᾶτε ʹδιακρινομένους,†‡ 23 οὓς δὲ σῴζετε ἐκ πυρὸς
ἁρπάζοντες, οὓς δὲ ἐλεᾶτε ἐν φόβῳʹ, μισοῦντες καὶ τὸν
ἀπὸ τῆς σαρκὸς ἐσπιλωμένον χιτῶνα. 24 Τῷ δὲ δυναμένῳ
φυλάξαι ʳὑμᾶς§ἀπταίστους καὶ στῆσαι κατενώπιον τῆς
δόξης αὐτοῦ ἀμώμους ἐν ἀγαλλιάσει 25 ʳμόνῳ*θεῷ
σωτῆρι ἡμῶν ʹδιὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν†
ʳδόξα‡μεγαλωσύνη κράτος καὶ ἐξουσία ʹπρὸ παντὸς τοῦ
αἰῶνος§ καὶ νῦν καὶ εἰς πάντας τοὺς αἰῶνας· ἀμήν. ‘/
book’

* 1:20 ἐποικοδομοῦντες ἑαυτοὺς τῇ ἁγιωτάτῃ ὑμῶν πίστει WH Treg NA28 ] τῇ ἁγιωτάτῃ ὑμῶν πίστει ἐποικοδομοῦντες ἑαυτοὺς RP † 1:22 22–23 ἐλεᾶτε WH NA28 ] ἐλεεῖτε RP; ἐλέγχετε Treg ‡ 1:22 διακρινομένους οὓς δὲ σῴζετε ἐκ πυρὸς ἁρπάζοντες οὓς δὲ ἐλεᾶτε ἐν φόβῳ Treg NA28 ] διακρινομένους σῴζετε ἐκ πυρὸς ἁρπάζοντες οὓς δὲ ἐλεᾶτε ἐν φόβῳ WH; διακρινομένοι οὓς δὲ ἐν φόβῳ σῴζετε ἐκ πυρὸς ἁρπάζοντες RP § 1:24 ὑμᾶς WH Treg NA28 ] αὐτούς RP * 1:25 μόνῳ WH Treg NA28 ] + σοφῷ RP † 1:25 διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν WH Treg NA28 ] – RP ‡ 1:25 δόξα WH Treg NA28 ] + καὶ RP § 1:25 πρὸ παντὸς τοῦ αἰῶνος WH Treg NA28 ] – RP

# Η Καινή Διαθήκη
# The Greek New Testament: SBL Edition

copyright © 2010 Society of Biblical Literature and Logos Bible Software

Language: Ελληνικά (Greek, Ancient)

Dialect: Ancient

Updated to source dated 2023-07-10 from https://github.com/LogosBible/SBLGNT
This translation is made available to you under the terms of the Creative Commons Attribution license 4.0.
You may share and redistribute this Bible translation or extracts from it in any format, provided that:

- You include the above copyright and source information.
- If you make any changes to the text, you must indicate that you did so in a way that makes it clear that the original licensor is not necessarily endorsing your changes.

Pictures included with Scriptures and other documents on this site are licensed just for use with those Scriptures and documents. For other uses, please contact the respective copyright owners.
Note that in addition to the rules above, revising and adapting God's Word involves a great responsibility to be true to God's Word. See Revelation 22:18-19.

2024-02-21

---

PDF generated using Haiola and XeLaTeX on 29 Apr 2024 from source files dated 21 Feb 2024
481db0ad-89b5-5f26-acd4-a04def98bd07